A
Κλ. Ἄκουε δὴ νυν, καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ Ἐρεχθείδη λογίων ὁδὸν, ἣν σοι Ἀπόλλων
Ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων,
Σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα.
Ὃς πρόσθεν δάκνων, καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς,
Σοὶ μισθὸν ποριεῖ· κἂν μὴ δρᾷ ταῦτ', ἀπολεῖται.
B
Πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.
Δη. Ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ,τι λέγει.
Τί γάρ ἐστ' Ἐρεχθεῖ, καὶ κολοιοῖς, καὶ κυνί;
Κλ. Ἐγὼ μέν εἰμ' ὁ κύων, πρὸ σοῦ γὰρ ἀπύω,
Σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
Αλ. Οὐ τοῦτό φησ' ὁ χρησμὸς, ἀλλ' ὁ κύων ὁδὶ,
Ὥσπερ θύρας σου τῶν λογίων παρεσθίει,
C
Ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
Δη. Λέγε δή, ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
Ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
Αλ. Φράζευ Ἐρεχθείδη κύνα Κέρβερον ἀνδραποδιστὴν,
Ὃς κέρκῳ σαίνων ὁπόταν δειπνῇς ἐπιτηρῶν,
Ἐξέδεταί σου τοὖψον, ὅταν σύ ποι ἄλλοσε χάσκῃς,
D
Ἐσφοιτῶν δ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν,
Νύκτωρ τὰς λοπάδας, καὶ τὰς νήσους διαλείχων.
Δη. Νὴ τὸν Ποσειδῶ, πολύ γ' ἄμεινον ὦ Γλάνι.
Κλ. Ὦ τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνή, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
Ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
Ὥστε περὶ σκυμνοῖσι βεβηκώς, ὅν σὺ φυλάξαι,
Τεῖχος ποιήσας ξύλινον, πύργους τε σιδηροῦς.
E
Δη. Ταῦτ' οἶσθ' ὅ,τι λέγει; Αλ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Κλ. Ἔφρασεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ.
Ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.

*CL. Igitur ausculta, & adhibe animum mihi tuum.*
*Aspice Erechtide, quae sint oracula Phoebi,*
*Hac tibi de tripode ex adytis penetralibus effert:*
*Te seruare iubet ferratis dentibus acrem*
*Ille canem, qui te allatrans, mordénsque vicissim,*
*Mercedem reddet: ni fecerit ista, peribit.*
*Multae odio cornices cornicantur in illum.*
*PO. Ita me Ceres amet: vt, quid dicat, nescio.*
*Quid enim sit Erechteo & cornicibus, & cani?*
*CL. Ego quidem sum canis. Nam pro te latro ego.*
*Te verò Apollo hortatur, vt serues canem.*
*AG. Non isthuc iubet oraculum, sed hic canis*
*Non aliter rodit oracula, quàm ostia tua.*
*Nam de hoc cane meum canit apertè oraculum.*
*PO. Dic obsecro, ego interim lapidem prehendam manu,*
*Ne me isthuc de cane oraculum malè mordeat.*
*AG. Aspice Erechtide, quis Cerberus iste nefandus,*
*Assentans cauda, quoties coenae imminet hora:*
*Sudorem vorat ille tuum, te hiscente aliorsum:*
*Et latitans intrat, catuli de more, culinam,*
*Atque ollas noctu lambit, terrásque mari alto.*
*PO. Per Neptunum: melius dixisti, tu Glani.*
*CL. Amice, audi priùs, pòst demum iudica.*
*Est mulier, quae isthac partu dabit vrbe leonem,*
*Qui culicum auxilio, populum defendet, & armis*
*Pro catulis pugnans, hunc tu seruare memento,*
*Aerata turri, atque abiegni pariete muri.*
*PO. Nostine, quid dicat? AG. ego non, per Apollinem.*
*CL. Hoc vult Deus manifestè: vt serues me tibi.*
*Ego enim loco leonis sum tibi propalam.*

Σχόλια. Ἄκουε δὴ νυν] ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. οἱ δὲ ἑξῆς ϛ. δακτυλικοὶ ἑξάμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει παράγραφος. F Ἐριτίμων ἀπὸ τριπόδων.] ἐφ' ὧν ἐκαθέζετο ἡ πρόμαντις. ἐριτίμων δὲ, πάνυ τιμίων. τὸ γὰρ ἐρι, ἐπίρρημά ἐστιν ἐπιτάσεως. ὡς τὸ ἐριβώλακα καὶ ἐρικυδέα, τὴν μεγάλως ἔνδοξον. περὶ δὲ τοῦ ἐν Δελφοῖς τρίποδος εἰς ἀναπλήρωσιν τῶν ἐν τοῖς εἰς τὸν πλοῦτον λεχθέντων, οὐ χεῖρόν ἐστι τὰ παρὰ Πλουτάρχῳ ἱστορηθέντα περὶ ἀλλήλων Σόλωνι, κἀνταῦθα παραθέσθαι. τοὺς μὲν γὰρ ἁλιεῖς Κῴους τοὺς τὸν βόλον πριαμένους, ἐκ Μιλήτου ξένους ὑπάρξαι φησίν. τὸν δ' ἀναφανέντα χρυσοῦν τρίπουν, Ἑλένην πλεύσασαν ἐκ Τροίας αὐτόθι καταθεῖναι χρησμοῦ τινος ἀναμνησθεῖσαν παλαιοῦ. G γενομένης δὲ τοῖς ξένοις ἄχρι πολέμου διαφορᾶς, τὴν Πυθίαν ἀνελεῖν τῷ σοφωτάτῳ τὸν τρίπουν ἀποδοῦναι, ὅθεν πρῶτον μὲν πρὸς Θάλητα ἀπεστάλθαι, εἶτα πρὸς Βίαντα, τοῦ Θάλεω σοφώτερον αὐτὸν ἀποφήναντος. ἀπ' ἐκείνου δ' αὖθις εἰς ἕτερον ἀναπεμπόμενον, τέλος εἰς Θήβας ἐκ Μιλήτου κομισθέντα τῷ Ἰσμηνίῳ Ἀπόλλωνι. κατὰ δὲ Θεόφραστον τῷ ἐν Δελφοῖς καθιερῶσθαι. εἰς ὃν δὲ ὕστατον ἐπέμφθη, τινὲς μὲν Θαλῆν τινὲς δὲ Βίαντα, εἰσὶ δ' οἳ καὶ Σόλωνα ἱστορήκασι. σώζεσθαι δὲ, σώζειν ἐστὶ περὶ πολλοῦ ποιεῖσθαι. Καρχαρόδοντα.] τραχεῖς ὀδόντας ἔχοντα. F καρχαρόδοντα δὲ ὅσα στρογγύλους καὶ ἐναλλάσσοντας τοὺς ὀδόντας ἔχουσι. λέων. κύων. πάρδαλις. ἀετίδες. καὶ ἰχθύων γένος ἃ σαρκοφάγα εἰσί. Κἂν μὴ δρᾷ ταῦτα.] κἂν μὴ ποιήσῃ ταῦτα ὁ κύων ἀπολεῖται. Κατακρώζουσι.] καταθορυβοῦσιν. ἰδίως δὲ νῦν ἐπὶ ὀρνέων τὸ κράζειν ἀντὶ τοῦ κρώζειν. ἄλλως. οἱ ἄλλοι ῥήτορες κράζουσι καὶ θορυβοῦσι. Ταυτὶ μὰ τὴν Δήμητρα] οἱ ἑξῆς τῶν εἰρημένων οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ἐννέα. ἐπὶ τῷ τέλει παράγραφος. πρὸ σοῦ δὲ ἀπύω ἀντὶ τοῦ ὑπὲρ σοῦ ὑλακτῶ. Ὥσπερ θύρας σου] οἱ γὰρ ἀποκλειόμενοι κύνες, τὰς G θύρας περιεσθίουσι, βουλόμενοι ἑαυτοῖς ποιῆσαι ἔξοδον. ὁ χρησμὸς δ' ὁ περὶ τοῦ κυνὸς ἀντὶ τοῦ ὁ ἐν τῷ χρησμῷ κύων. ἐν ἐκθέσει δὲ στίχοι ε δακτυλικοὶ ἐφ' ὧν τῷ τέλει παράγραφος. Ἀνδραποδιστήν.] σωματέμπορον, τοὺς ἐλευθέρους καταδουλούμενον. Ὃς κέρκῳ σαίνων] τῇ οὐρᾷ σαίνων δηλονότι ὑποτρέχων καὶ κολακεύων. ἔπαιξε δὲ παρὰ τὴν παροιμίαν. σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ. ἐπὶ τῶν ὑποκρινομένων